νον σωφροσύνης. καὶ παρὰ θεῶν αὕτη γινομένη, πῶς ἄξιον, φασὶ, τὸ μὴ τέ-
χνῃ γινόμενον ψέγειν. ἢ πῶς ῥητορικὴν ἁπλῶς αἰσχρὸν ἡγεῖσθαι. καὶ μὴ συγ-
χωρεῖν δύναμίν γέ τινα εἶναι τέχνης κρείττονα. ἢ δεῖ δὴ τὴν μὲν, καλλίστην τῶν
τεχνῶν προσείρηκα, τὴν μαντικὴν εἶναι, τὴν δὲ ἁπλῶς οὐ δεῖν εἶναι τέχνην τὴν ποι-
ητικὴν, ἀλλ᾽ ἐπίπνοιαν ἐκ μουσῶν, ὃς δ᾽ ἂν ἄνευ μανίας μουσῶν ἐπὶ ποιη-
τικὰς θύρας ἀφίκηται, πεισθεὶς ὡς ἄρα ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμε-
νος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις ὑπὸ τῆς τῶν μαινομένων ἡ τοῦ σωφρο-
νοῦντος ἠφανίσθη. τοσαῦτα μὲν οὖν καὶ ἔτι πλείω ἔχω μανίας γινομένης
ἀπὸ θεῶν λέγειν καλὰ ἔργα, πῶς οὐκ ἐξ ἀμφοῖν δείκνυται, τὸ μὴ τὴν τέχνην
νικᾶν, ἀλλ᾽ ἐπὶ τοῦ καλλίονος πρότερον καὶ θεοφιλέστερον εἶναι, τὸ μὴ δουλεῦον
τῇ τέχνῃ. σαφῶς γὰρ οὕτω ὁ Πλάτων ἤδη διορίζεται, τὸ μὴ δεῖν ἀπὸ τῶν με-
γίστων τέχνην ζητεῖν. ὥσπερ ἐμοὶ βουλητὸν τοῦ ἀρίστου, καὶ τῶν αὐτοῦ
γνῶ διὰ συμβαίνει. οὐ γὰρ οὖν καὶ μαθητικῶς. ὥστε τοσοῦτον ἐνθουσιασμός. ἡ
βουλητὸν τοῦ ὄχλου. τὰ δ᾽ οὐχ ὑπ᾽ ἄλλων. ἀλλὰ τοῖς αὐτοῦ ὑπερεῖσιν ἀθρῶν
ἀλλ᾽ ἐν ἄλλοις τοῖς λόγοις ἀλλαχοῦ καὶ μὴν ἐν μαντικῇ μὲν ἐξ Ἀπόλλωνος
ἢ καὶ Διός, τελεταῖς δὲ ἐξ ἄλλου τοῦ Διονύσου, ποιητικῇ διὰ μουσῶν, οὐ
δὲ τῶν μὲν, ἀδελφὸς, τοῦ δὲ πάλιν ἔρωτος, ἀπορήσει λόγον περί τινος ἑαυ-
τοῦ δωρεᾶς. ἀλλ᾽ οὕτω τε καὶ τὸν Πλάτων προστίθησι τοὺς λόγους, ἀληθῆ τε καὶ
δίκαια ἐρεῖ. οἶμαι δὲ καὶ λογίους αὐτοὺς προσαγαγόντες τοὺς θεοὺς, καὶ
πολλοῖς τε κοινοῖ. καὶ ἐν δὲ περὶ γραμματεῖς κεχθέντες, πολλῷ σαφέ-
στερον ἢ περὶ μανίας μαρτυροῦσιν, ὅπη δὲ ἀξιοχρεως ἀνοίσομαι. ἀντὶ
μετὰ τὸν λόγον ἡμῖν καὶ προσφύεται μαντικῇ τέχνῃ εἶναι. ταῦτα δὴ τὰ
› ἐφεξῆς τοῦ· ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα, μηδέ τις ἡμᾶς λόγος θορυ-
› βείτω δεδιττόμενος, ὡς πρὸ τοῦ κεκινημένου τὸν σώφρονα δεῖ προαιρε-
› σθαι φίλον. ἐρασθῆναι τὰ δέ. ὥστε τοῦτό γε αὐτὸ μὴ φοβώμεθα. μηδέ
› τις ἡμᾶς λόγος θορυβείτω δεδιττόμενος. ὡς οὖν τὸν φύσει καὶ θείᾳ μοίρᾳ
› κατορθοῦντα δεῖ νικᾶν, ἀλλ᾽ οὐ τὸν τεχνικῶς μικρὰ ἐπιόντα. ἀλλὰ τόδε φη-
› σὶ πρὸς ἐκείνῳ δείξας, φερέσθω τὰ νικητήρια. ὡς οὐκ ἐπ᾽ ὠφελείᾳ ὁ ἔρως
› τῷ ποθοῦντι καὶ τῷ ἐρωμένῳ ἐκ θεῶν ἐπιπέμπεται. καὶ τὸ δέ τι τοίνυν
› πρὸς ἐκείνῳ δείξας, φερέσθω τὰ νικητήρια. ὡς οὖν κἀπ᾽ ὠφελείᾳ τῇ πά-
› σῃ καὶ μεγίστῃ. λόγοι παρὰ θεῶν αὐτοῖς γίγνονται. ἡμῖν δὲ ἀποδεικτέον αὖ
› τοὐναντίον φησίν, ὡς ἐπ᾽ εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μα-